Mimnermus 1

τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσέης Ἀφροδίτης;
    τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή,
    οἷ᾽ ἥβης ἄνθεα γίνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ᾽ ὀδυνηρὸν ἐπέλθῃ
    γῆρας, ὅ τ᾽ αἰσχρὸν ὅμως καὶ καλὸν ἄνδρα τιθεῖ,
αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
    οὐδ᾽ αὐγὰς προσορέων τέρπεται ἠελίου,
ἀλλ᾽ ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν·
    οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

Anacreon 357

ὦναξ, ᾧ δαμάλης Ἔρως
καὶ Νύμφαι κυανώπιδες
    πορφυρῆ τ᾽ Ἀφροδίτη
συμπαίζουσιν, ἐπιστρέφεαι
δ᾽ ὑψηλὰς ὀρέων κορυφάς·
γουνοῦμαί σε, σὺ δ᾽ εὐμενὴς
ἔλθ᾽ ἡμίν, κεχαρισμένης
    δ᾽ εὐχωλῆς ἐπακούειν·
Κλεοβούλῳ δ᾽ ἀγαθὸς γένεο
σύμβουλος, τὸν ἐμόν γ᾽ ἔρωτ᾽,
    ὦ Δεόνυσε, δέχεσθαι.

Antiphilus of Byzantium 9 *G-P* (*AP* ix.546)

Κὴν πρύμνῃ λαχέτω μέ ποτε στιβάς, αἵ θ᾽ ὑπὲρ αὐτῆς
ἠχεῦσαι ψακάδων τύμματι διφθερίδες,
καὶ πῦρ ἐκ μυλάκων βεβιημένον, ἥ τ᾽ ἐπὶ τούτων
χύτρη, καὶ κενεὸς πομφολύγων θόρυβος,
καί κε ῥυπῶντ᾽ ἐσίδοιμι διήκονον· ἡ δὲ τράπεζα
ἔστω μοι στρωτὴ νηὸς ὕπερθε σανίς·
δὸς λάβε, καὶ ψιθύρισμα τὸ ναυτικόν· εἶχε τύχη τις
πρῴην τοιαύτη τὸν φιλόκοινον ἐμέ.

Catullus 101

Multas per gentes et multa per aequora vectus
    advenio has miseras, frater, ad inferias,
ut te postremo donarem munere mortis

et mutam nequiquam alloquerer cinerem.
quandoquidem fortuna mihi tete abstulit ipsum.
heu miser indigne frater adempte mihi,
nunc tamen interea haec, prisco quae more parentum
tradita sunt tristi munere ad inferias,
accipe fraterno multum manantia fletu,
atque in perpetuum, frater, ave atque vale.